καὶ νῦν ἐλαφρῷ ποδὶ κραιπνόσυτον
θᾶκον προλιποῦσ᾽, αἰθέρα θ᾽ ἁγνὸν,
πόρον οἰωνῶν, ὀκριοέσσῃ
χθονὶ τῇδε πελῶ· τοὺς σοὺς δὲ πόνους
χρῄζω διὰ παντὸς ἀκοῦσαι.

ΩΚΕΑΝΟΣ.

ἥκω δολιχῆς τέρμα κελεύθου
διαμειψάμενος πρὸς σὲ, Προμηθεῦ,
τὸν πτερυγωκῆ τόνδ᾽ οἰωνὸν
γνώμῃ, στομίων ἄτερ, εὐθύνων.
ταῖς σαῖς δὲ τύχαις, ἴσθι, συναλγῶ·
τό τε γάρ με, δοκῶ, ξυγγενὲς οὕτως
ἐσαναγκάζει, χωρίς τε γένους,
οὐκ ἔστιν ὅτῳ μείζονα μοῖραν
νείμαιμ᾽, ἢ σοί.
γνώσει δὲ τάδ᾽ ὡς ἔτυμ᾽, οὐδὲ μάτην
χαριτογλωσσεῖν ἔνι μοι· φέρε γὰρ,
σήμαιν᾽ ὅ τι χρή σοι ξυμπράσσειν·
οὐ γάρ ποτ᾽ ἐρεῖς ὡς Ὠκεανοῦ
φίλος ἐστὶ βεβαιότερός σοι.

ΠΡ. ἔα, τί χρῆμα; καὶ σὺ δὴ πόνων ἐμῶν
ἥκεις ἐπόπτης; πῶς ἐτόλμησας, λιπὼν
ἐπώνυμόν τε ῥεῦμα καὶ πετρηρεφῆ
αὐτόκτιτ᾽ ἄντρα, τὴν σιδηρομήτορα
ἐλθεῖν ἐς αἶαν; ἢ θεωρήσων τύχας

287. κραιπνόσσυτον Ald. Rob. Turn. κραιπνόσυτον restituit Bentleius Diss. de Phalar. p. 140.

288. θῶκον Ald. Rob. Turn. θᾶκον Med. C. H. M. 1. 2. Br. Pors. Sch. αἰθέρ᾽ ἁγνὸν. Ald. Rob.

289. ὀκρυοέσσῃ Ald. Rob. Turn. ὀκριοέσσῃ M. 2. N. quod Brunckius recte hic et in Theb. 302. reposuit.

291. ἀκούσειν Rob.

292. Eustath. in Od. E. p. 1545, 49. οὕτω καὶ ὠκεανὸς, τό τε ὕδωρ αὐτὸ, καὶ ὁ μυθευόμενος ὡς θεός· ὃν ὁ τραγικὸς Αἰσχύλος ἐπὶ γρυπὸς καθίζων, ἐξάγει πρὸς θέατρον.

296. ξυναλγῶ Ald. Rob. Turn.

300. νέμοι μ᾽ Ald. νέμοιμ᾽ Rob. Med. M. 1. γε νέμοιμ᾽ Turn.

301. γνώσῃ Ald. Rob. Turn. ἐτήτυμ᾽ Ald.

302. σὲ χαριτογγλωσσεῖν Ald. σοὶ τὸ χ. Rob. χ. σοι D. E. F. M. 1. χ. σ᾽ N. Corrupte citatur ab Athenaeo IV. p. 165. D.

303. συμπράττειν Ald. Rob. Turn. εἴτι Rob.

304. ποτε φῂς Ald. E. H. Colb 2. Barocc.

306. δὴ omittit Ald.

309. αὐτόκτιστ᾽ Ald. Rob.

310. "*Scholiastes* B. *legisse vi*-